ἀλλ' αἱ ἴσαι γραμμαὶ εὐθεῖαι αἱ αὐταί, καὶ τὰ ἴσα καὶ τὰ ἰσογώνια τετράγωνα καίτοι πλείω· ἀλλ' ἐν τούτοις ἡ ἰσότης, ἑνότης. ὅμοια δὲ ἐὰν μὴ ταὐτὰ ἁπλῶς ὄντα, μηδὲ κατὰ τὴν οὐσίαν ἀδιάφορα τὴν ὑποκειμένων, κατὰ τὸ εἶδος ταὐτὰ ᾖ, οἷον τὸ μεῖζον τετράγωνον, τῷ μικρῷ ὅμοιον, καὶ αἱ ἄνισοι εὐθεῖαι. αὗται γὰρ ὅμοιαι μέν, αἱ αὐταὶ δὲ ἁπλῶς, οὔ. τὰ δέ, ἐὰν τὸ αὐτὸ εἶδος ἔχοντα ἐν οἷς τὸ μᾶλλον καὶ ἧττον γίγνεται, μήτε μᾶλλον ᾖ, μήτε ἧττον. τὰ δέ, ἐὰν ᾖ τὸ αὐτὸ πάθος καὶ ἓν τῷ εἴδει, οἷον τὸ λευκὸν σφόδρα καὶ ἧττον, ὅμοιά φασιν εἶναι, ὅτι ἓν τὸ εἶδος αὐτοῦ. τὰ δέ, ἂν πλείω ἔχῃ ταὐτὰ ἢ ἕτερα, ἢ ἁπλῶς, ἢ τὰ πρόχειρα. οἷον καττίτερος ἀργύρῳ, ἢ χρυσῷ· χρυσὸς δὲ πυρί, ᾗ ξανθὸν καὶ πυρρόν. ὥστε δῆλον ὅτι καὶ τὸ ἕτερον καὶ τὸ ἀνόμοιον πολλαχῶς λέγεται· καὶ τὸ μὲν ἄλλο ἀντικειμένως καὶ τὸ ταὐτό. διὸ πᾶν πρὸς ἅπαν, ἢ ταὐτό, ἢ ἄλλο. τὸ δέ, ἐὰν μὴ καὶ ὕλη καὶ ὁ λόγος εἷς. διὸ σὺ καὶ ὁ πλησίον ἕτερον. τὸ δὲ τρίτον, ὡς τὰ ἐν τοῖς μαθηματικοῖς. τὸ μὲν οὖν ἕτερον, ἢ ταὐτό, διὰ τοῦτο πᾶν πρὸς πᾶν λέγεται, ὅσα λέγεται ἓν καὶ ὄν. οὐδὲ γὰρ ἀντίφασίς ἐστι τοῦ ταὐτοῦ· διὸ οὐ λέγεται ἐπὶ τῶν μὴ ὄντων (τὸ δὲ μὴ ταὐτὸ λέγεται) ἐπὶ δὲ τῶν ὄντων πάντων. ἢ γὰρ ἕν, ἢ οὐχ ἓν πέφυκος ὂν καὶ ἕν. τὸ μὲν οὖν ἕτερον καὶ ταὐτὸν, οὕτως ἀντίκειται. διαφορὰ δὲ καὶ ἑτερότης, ἄλλο. τὸ μὲν γὰρ ἕτερον, καὶ οὗ ἕτερον, οὐκ ἀνάγκη εἶναι τινὶ ἕτερον. πᾶν γὰρ ἢ ἕτερον, ἢ ταὐτό, ὅτι ἂν ᾖ ὄν. τὸ δὲ διάφορον τινός, τινὶ διάφορον. ὥστε ἀνάγκη ταὐτό τι εἶναι ᾧ διαφέρουσι. τοῦτο δὲ τὸ αὐτὸ γένος ἢ εἶδος. πᾶν γὰρ τὸ διαφέρον διαφέρει, ἢ γένει, ἢ εἴδει, γένει μέν, ὧν μὴ ἔστι κοινὴ ἡ ὕλη, μηδὲ γένεσις εἰς ἄλληλα· οἷον ὅσων ἄλλο σχῆμα τῆς κατηγορίας· εἴδει δέ, ὧν τὸ αὐτὸ γένος. λέγεται δὲ γένος, ὃ ἄμφω τὸ αὐτὸ λέγονται κατὰ τὴν οὐσίαν τὰ διάφορα. τὰ δ' ἐναντία καὶ ἡ ἐναντίωσις, διαφορά τις. ὅτι δὲ καλῶς τοῦτο ὑποτιθέμεθα, δῆλον ἐκ τῆς ἐπαγωγῆς. πάντα γὰρ διαφέροντά τε φαίνεται, καὶ οὐ μόνον ἕτερα ὄντα, ἀλλὰ τὰ μὲν τὸ γένος ἕτερα· τὰ δ' ἐν τῇ αὐτῇ συστοιχίᾳ τῆς κατηγορίας. ὥστ' ἐν ταὐτῷ γένει καὶ ταὐτὰ τῷ εἴδει. διώρισται δ' ἐν ἄλλοις ποῖα τῷ γένει ταὐτά, ἢ ἕτερα.

A vt æquales lineæ rectæ, eædem & æqualia & æqualium angulorum quadrata, tametſi plura ſint: æqualitas tamen in eis eſt vnitas. Similia verò ſi cùm non ſint eadem ſimpliciter, nec ſecundum ſubſtantiam ſubiectam indifferentia, ſecundum ſpeciẽ eadem ſint: quemadmodum maius quadratum minori ſimile eſt, & lineę inæquales. hæ enim ſimiles quidem, verùm non eædem ſimpliciter ſunt. Quædam verò, ſi B cum eandem ſpeciem habeant, in quibus magis & minus ſit, neq; magis, neque minus ſit. Quædam autem ſi eadem & vnà ſpecie paſſio ſit: vt valde album & minus, ſimilia eſſe aiunt, quia vna ſpecies eorum eſt. Quædam verò ſi plura habet eadem, quàm diuerſa, aut ſimpliciter, aut quæ in promptu ſunt: vt ſtannum, argento, quam auro: aurum verò igni, prout flauus, & rurſus eſt. Quare manifeſtum eſt, quod diuerſum, & diſſimile multipliciter dicuntur, C aliúdque & idem, oppoſitè. Vnde omnẽ ad omne aut idem, aut aliud eſt. Hoc verò, niſi ſit & materia, & ratio vna: quare tu & propinquus, diuerſum. tertium autem ſicuti illa quæ in mathematicis ſunt. Diuerſum igitur, aut idem ideo omne ad omne dicitur, quod quæque vnum & ens dicuntur: non eſt enim contradictio ipſius eiuſdem. Quare non dicitur de non entibus (at non idem dicitur) ſed de omnibus entibus. Aut enim vnum, aut non vnum D natura aptum ens, & vnum eſſe. Diuerſum igitur, & idem, ita opponuntur: differentia verò, & diuerſitas, aliud eſt. Diuerſum nãque & illud à quo diuerſum, non eſt neceſſe aliquo eſſe diuerſum. Omne etenim quodcunque ſit ens, aut idem, aut diuerſum eſt. Differens verò ab aliquo, aliquo differens eſt. Quare neceſſe eſt aliquid idem eſſe, quo differunt: hoc vero idem, E aut genus, aut ſpecies eſt. Omne nanquẽ differens, aut genere, aut ſpecie differt. Genere, quorum non eſt communis materia, neque mutua generatio: vtputa, quorum alia prædicationis figura eſt. Specie vero, quorum idem genus. Dicitur autem genus, quo ambo, quæ differunt, ſecũdum ſubſtantiam idem dicuntur. Contraria vero, differentia, & contrarietas quædam differentia eſt. Quod autem rectè ſuppo- F nimus, ex inductione patet. Cuncta enim differre videntur, & non ſolùm diuerſa eſſe, ſed quædam ſecundum genus diuerſa, quædam in eadem prędicationis coordinatione. Quare & quæ eadem ſpecie, in eodem genere ſunt. Determinatum autem in aliis eſt, quæ eadem, aut diuerſa genere ſunt.